Antigone and Ismene argue over the best course of action

Ἀντιγόνη ἀλλ’ ἴσθ’ ὁποῖά σοι δοκεῖ, κεῖνον δ’ ἐγὼ
θάψω· καλόν μοι τοῦτο ποιούσῃ θανεῖν.
φίλη μετ’ αὐτοῦ κείσομαι, φίλου μέτα,
ὅσια πανουργήσασ’. ἐπεὶ πλείων χρόνος
ὃν δεῖ μ’ ἀρέσκειν τοῖς κάτω τῶν ἐνθάδε.
ἐκεῖ γὰρ αἰεὶ κείσομαι· σοὶ δ’, εἰ δοκεῖ,
τὰ τῶν θεῶν ἔντιμ’ ἀτιμάσασ’ ἔχε.
Ἰσμήνη ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι, τὸ δὲ
βίᾳ πολιτῶν δρᾶν ἔφυν ἀμήχανος.
Ἀντιγόνη σὺ μὲν τάδ’ ἂν προὔχοι’· ἐγὼ δὲ δὴ τάφον
χώσουσ’ ἀδελφῷ φιλτάτῳ πορεύσομαι.
Ἰσμήνη οἴμοι ταλαίνης, ὡς ὑπερδέδοικά σου.
Ἀντιγόνη μὴ ’μοῦ προτάρβει· τὸν σὸν ἐξόρθου πότμον.
Ἰσμήνη ἀλλ’ οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ
τοὔργον, κρυφῇ δὲ κεῦθε, σὺν δ’ αὔτως ἐγώ.
Ἀντιγόνη οἴμοι, καταύδα· πολλὸν ἐχθίων ἔσει
σιγῶσ’, ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.
Ἰσμήνη θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.
Ἀντιγόνη ἀλλ’ οἶδ’ ἀρέσκουσ’ οἷς μάλισθ’ ἁδεῖν με χρή.
Ἰσμήνη εἰ καὶ δυνήσει γ’· ἀλλ’ ἀμηχάνων ἐρᾷς.
Ἀντιγόνη οὐκοῦν, ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.
Ἰσμήνη ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.
Ἀντιγόνη εἰ ταῦτα λέξεις, ἐχθαρεῖ μὲν ἐξ ἐμοῦ,
ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ.
ἀλλ’ ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν
παθεῖν τὸ δεινὸν τοῦτο· πείσομαι γὰρ οὐ
τοσοῦτον οὐδὲν ὥστε μὴ οὐ καλῶς θανεῖν.
Ἰσμήνη ἀλλ’ εἰ δοκεῖ σοι, στεῖχε· τοῦτο δ’ ἴσθ’ ὅτι
ἄνους μὲν ἔρχει, τοῖς φίλοις δ’ ὀρθῶς φίλη.

Sophocles Antigone 71-99
1B Seen